1. ἐφράτης. 3. ὅτί. ὑπονομῶν.. 4. ὑπέρρουσι. 5. 6 ἀπονέμοντες κατὰ διόρθωσιν ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἀπονέμουσιν. 11 ἀνῳκισμένην. 13. καθεαυτάς. 15. ἀγριοτέραν. 18. || Κώδ. 115, 6. 20. οὐχ'. 24. πρύτανι.

βητα, ἠπόρει, ἐθαύμαζεν, ἠνιᾶτο, ἤσχαλλεν, ἡττᾶσθαι ᾐσχύνετο καὶ βιάζεσθαι οὐκ ἠβούλετο· ἐδεδίει γὰρ, μήπως, εἰς πλείστας βασάνους ἐρχόμενος, πλεῖστα ἐνδείξηται καὶ τὰ θαύματα, καὶ ἕνα μόνον διὰ τῶν βασάνων πείθειν οἰόμενος ἀποστήσῃ πάντας τῆς τῶν εἰδώλων θρησκείας.

39. Ὅμως τῇ λύττῃ τοῦ || βασιλέως δουλεύων, θηρίοις τοῦτον ἐκδίδωσι, καὶ τὸ θέατρον ἦν πλῆρες τῶν θεατῶν. Οὐκ ἀνὴρ, οὐ γυνὴ τῆς θέας ἀπέλιπεν, οὐ δοῦλος, οὐ χειροτέχνης, οὐ μικρὸς, οὐ μέγας, ἀλλὰ καὶ παῖδες διδασκάλων ὑπεριδόντες καὶ παρθένοι τὴν αἰδῶ ἀπορρίψασαι ἐπὶ τὸ στάδιον ἔτρεχον.

40. Ὁ δὲ μάρτυς, πρὸς τὸν ἀγωνοθέτην ἀνατεταμένον ἔχων τὸ ὄμμα καὶ τὴν διάνοιαν, ἐν μέσῳ τοῦ θεάτρου ἀπτόητος ἕστηκεν. Τί οὖν γίνεται καὶ τί πρὸς ταῦτα θεὸς ἐνήργησε; Προςπίπτουσιν αὐτῷ τὰ θηρία, προςτρέχουσιν ἑκατέρωθεν, ἅπτονται τοῦ χρωτὸς αὐτοῦ, φιλονεικοῦσι ποῖον αὐτοῦ πρῶτον ἅψηται. Τέλος, τὰ ὅσια, ὥςπερ πάλαι τῷ προφητικωτάτῳ Δανιὴλ τῷ ἁγίῳ, ἐπιτελέσαντα, ἀπ' αὐτοῦ μακρὰν ἀπῆλθον ὡς κοιμησόμενα. 41. Ὦ σώματος ἱεροῦ δυνατωτέρου πυρὸς, ὦ σαρκῶν ὁσίων ὑπὸ θηρῶν σεβομένων ἀγρίων, ὢ ἀνδρὸς ἀπτόητον τὸ φρόνημα ἐν μέσῳ συνεδρίου παρανόμου ἔχοντος. Ταῦτα ὁ θεὸς ἡμῶν ὁ ποιῶν θαυμάσια, ὁ καὶ πάλαι δροσίσας ἐν καμίνῳ νεανίας τὴν εἰς αὐτὸν τηροῦντας πίστιν ἀκήρατον καὶ || προφήτην ἐν λάκκῳ λέουσι δοθέντα βορᾷ φυλάξας ἀπήμονα καὶ ἄλλον φυγάδα ῥυσάμενος ὑπὸ κήτους καταποθέντα.

42. Τί δὲ μετὰ τηλικούτων θαυμάτων ἐπίδειξιν; Ἐσχάρα κομίζεται καὶ πῦρ ὑποστρώννυται καὶ λύσσῃ τυραννικῇ ὁ ἅγιος ἐπ' αὐτῆς ἀνακλιθῆναι προστάττεται. Ὁ δὲ, τὸν Χριστὸν ὀνομάσας, αὐτομολεῖ πρὸς τὴν βάσανον. Οὐ γὰρ ἀνέμεινε τοὺς ἀ-

1. ἐθαύμαζε. ἔσχαλε. 2. ἐδεδείη. 5. ἀποστήσει. 6. || Κώδ. 116, α. 7. πλήρης. 12. ἀπτώητος ἔστηκεν. 22. || Κώδ. 116, β. 23. δωθέντα βορρᾶ. 24. ῥυσάμενον κατὰ διόρθωσιν ἐκ τοῦ τὸ πρῶτον γραφέντος ῥυσάμενος. 27. δὲ.

γοντας, ἵνα μηδὲ χεῖρες ψαύσωσιν ἄναγνοι ἁγνοῦ καὶ γενναίου σώματος. Καὶ ἦν ἐπὶ τῆς πεπυρακτωμένης ἀνακείμενος ἐσχάρας ὡς ἐπὶ κλίνης μαλακοῖς στρώμασι καὶ καθαραῖς σινδόσι κεκοσμημένης. 43. Ἔλεγε δὲ πρὸς τὸν τύραννον· «τί κοπιᾷς, μάταιε, διασπώμενος τὴν ψυχήν; Ἰδοὺ τὸ πῦρ σου ψυχρόν ἐστιν· αἰδεῖται γὰρ τοὺς εἰδώλων καταφρονοῦντας. Ἐπινόει μοι καινότερα κολαστήρια, ἵνα καὶ μείζονας τοῦ ἐμοῦ Χριστοῦ τὰς δυνάμεις θεάσῃ, καί, γνοὺς ἐκ τούτων τῶν σεβασμάτων σοῦ τὴν ἀσθένειαν, κἂν ὀψέποτε τῆς ἀληθείας εἰς ἐπίγνωσιν ἥξεις». 44. Καὶ ἅμα τῷ λόγῳ καὶ βρονταὶ πρηστήριοι καὶ σεισμοὶ φοβεροί, τοὺς θεομάχους ἐκδειματοῦντες. Δείσας δὲ τὴν ἀπειλὴν τοῦ θεοῦ ὁ ἐπίληπτος || δικαστὴς καὶ ὡς ἐκμανὴς καταστάς, τί ποιεῖ; Προςπίπτει τοῖς ποσὶ τοῦ ἁγίου, ἐξομολογεῖται τὰς ἁμαρτίας, αἰτεῖ συγγνώμην τῶν τετολμημένων, ἀσφάλειαν τῶν μελλόντων προςτρέχειν τῇ μετανοίᾳ, ὁμολογεῖ τὴν ἀλήθειαν καί, ὢ τοῦ θαύματος, ἵστησι τὴν ὀργὴν ἡ μετάνοια.

45. Καὶ ὁ ἅγιος εὐχαριστεῖ τῷ θεῷ ἐπὶ τοῖς παθήμασιν αὐτοῦ καὶ τῇ μετανοίᾳ τοῦ πρὶν διώκτου, καὶ γίνεται τοῖς πᾶσι διδάσκαλος, ἀφεθείς, τὰ στίγματα τοῦ Χριστοῦ ἐν τῷ σώματι περιφέρων, κήρυγμα ζῶν, ἔμπνους στήλη, ἀνδρείας ὑπόδειγμα, σωφροσύνης ὑπογραμμός, κακίας ἐκριζωτής, ἀρετῆς φυτουργός, ὁδηγὸς πλανωμένων, στηριγμὸς σωζομένων, τῆς πλάνης στηλιτευτής, νομοθέτης εὐσεβείας, τῷ λόγῳ παιδεύων, τοῖς ἔργοις βεβαιῶν τὸν λόγον, ἀπάγων ἀπὸ τῶν εἰδώλων, προςάγων τῷ πάντας καλοῦντι πρὸς σωτηρίαν, νεότητος παιδαγωγός, πολιᾶς σύμβουλος ἀγαθός, παρθενίας συνήγορος, συζυγίας συναρμοστής, πεινώντων τροφεύς, γυμνῶν σκεπαστής, θλιβομένων παρηγορία, πενθούντων παράκλησις, ἰητὴρ νοσούντων, πασχόντων θεραπευτὴς καὶ ὅσαι τῶν || παθημάτων αἱ προςβολαί, τοσαύτας καὶ

1. μηδέ. 4. κεκοσμημένοις. 10. πριστήριοι. 12. || Κώδ. 117,α. ἐκμανίας. 17. αὐτοῦ. 21. ἐκριζωτὴς ἀρετῆς. 22. σωζωμένων. 27. πινόντων. 29. || Κώδ. 117,б.

τῶν ἰαμάτων παρεῖχε τὰς δωρεάς. 46. Ταῦτα χρόνοις μετὰ τὸ πάθος τρισὶ καὶ ἄλλῳ τι πρός· τοσοῦτον γὰρ ἐχαρίσθη πρὸς θεοῦ τοῖς συμπολίταις πρὸς καταρτισμὸν καὶ ὠφέλειαν ὁ ἅγιος μάρτυς. Ἔπειτα ἐν καλῷ ὕπνῳ καταλύει τὸν βίον καὶ τὸ μὲν πνεῦμα χειρὶ θεοῦ παρέθετο, ἐπεὶ ψυχαὶ δικαίων ἐν χειρὶ θεοῦ κατὰ τὸ θεῖον λόγιον, τὸ δὲ σῶμα τοῖς συμπολίταις ὑμῖν ὡς ἀδελφοῖς καὶ οἰκείοις κατέλιπεν, ὃ καὶ περιστείλαντες ἐντίμως κατέχετε καὶ τιμᾶτε ἀεὶ καὶ ταῖς δι' ἔτους γεραίρετε πανηγύρεσιν. Ὅθεν καὶ μᾶλλόν ἐστιν ὑμῖν ποθητός, ὅτι τῆς θρεψαμένης ὑμᾶς ὁ καρπός. Οἰκεῖος ὁ κόσμος, οἰκεῖον τὸ ἀγαθόν, συγγενὴς ὁ πρόμαχος, ἀδελφὸς ὁ προστάτης. 47. Χαίρετε οὖν καὶ ἀγαλλιᾶσθε, ἀθροίζοντες αὐτῷ τὴν πανήγυριν, τὸν ἱερὸν καὶ πιστὸν καὶ φιλομάρτυρα σύλλογον, τόν τε κοινὸν δοξολογοῦντες δεσπότην καὶ τὴν ἐπινίκιον τῶν ἐκείνου θείων ἀγώνων πληροῦντες ὑπόμνησιν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

2. ἄλλό. 3. ὀφέλειαν 8. πανηγύρεσι. 9. μάλλον ἐστίν.

ΝΙΚΟΛΑΟΥ ΚΕΡΚΥΡΑΣ

ΠΟΙΗΜΑ ΕΠΙ ΤΗι ΠΑΡΑΙΤΗΣΕΙ ΑΠΟ ΤΗΣ ΙΕΡΑΡΧΙΑΣ

Νικόλαος ὁ μητροπολίτης Κερκύρας περὶ οὗ πρόκειται ἐνταῦθα ἤκμασεν ἀρχομένου τοῦ ιβ′ αἰῶνος. Εἶνε δὲ γνωστὸς τὸ μὲν ὡς μετασχὼν ἐν ἔτει 1017 τῆς ὑπὸ Ἀλεξίου Α′ τοῦ Κομνηνοῦ συγκληθείσης ἐν Κωνσταντινουπόλει συνόδου πρὸς ἀναστήλωσιν τῶν ἁγίων εἰκόνων*, τὸ δὲ ὡς ἐκ τῆς φιλίας αὐτοῦ πρὸς τὸν ἀρχιεπίσκοπον Βουλγαρίας Θεοφύλακτον οὗ σώζονται τρεῖς ἐπιστολαὶ πρὸς τὸν Κερκύρας, ἡ ιζ′ κβ′ καὶ κγ′ τῶν παρὰ Migne. ** Ὁ Μουστοξύδης ὀρθῶς ἀπέδειξεν ὅτι εἰς τὸν ἡμέτερον Νικόλαον ἀναφέρονται αἱ ἐπιστολαὶ ἐκεῖναι τοῦ Θεοφυλάκτου. Κατὰ τὸν Κερκυραῖον ἱστοριογράφον ὁ ἐν τῇ κβ′ ἐπιστολῇ μνημονευόμενος «Σενναχηρεὶμ ὁ Ἀσσύριος, ὃν ἐν μέσῃ τῶν ποταμῶν ἡμῖν ἀμείλικτον ἐπαπέστειλεν» εἶνε ὁ Νορμαννὸς Βοημοῦνδος, ὅςτις συλληφθεὶς ὑπὸ τῶν Τούρκων ἐν Μεσοποταμίᾳ, εἶτα δ' ἐλευθερωθεὶς καὶ πάλιν ἡττηθεὶς ἀπεσύρθη εἰς Ἀπουλίαν, ἔνθα συναθροίσας στρατιὰν ἐπέπεσε κατὰ τοῦ Ἰλλυρικοῦ καὶ τῆς Βουλγαρίας, καὶ διέδραμε πάντα φέρων πῦρ καὶ σίδηρον***. Ἐκ τῶν ἐπιστολῶν δὲ τούτων, αἵτινες ἐστάλησαν κατὰ πιθανώτατον λόγον ὑπὸ τοῦ Θεοφυλάκτου πράγματι εἰς τὸν Νικόλαον, γνωρίζομεν τὸν ἱεράρχην τῆς Κερκύρας ὑφιστάμενον παντοῖα δεινὰ ὑπὸ τῶν τὰ κακὰ διαβουλευομένων καὶ πιεζόμενον ὑπὸ τῆς ἐχθρότητος αὐτῶν. Διὸ ἐνθαρρύνων αὐτὸν γράφει ὁ Θεοφύλακτος· «καὶ καταδιώξαις αὐτοὺς »καὶ καταλάβοις καὶ ἐκθλίψαις καὶ ὡς πηλὸν τῶν πλατειῶν

* Montfaucon, Bibl. Coisl. σ. 384.— Mansi Coll. Concil. Τόμ. Κ′ σ. 1104.

** Patrologiae graecae τόμ. 126 σ. 384, 394, 401.

*** Μουστοξύδου Delle cose Corciresi σ. 412.

»λεάναις τοὺς τὴν πλατεῖαν τοῦ ἀθέου Μωάμετ στέρξαντας.
»Καὶ ταῦτά σοι οὐκ ἐπεύχομαι μόνον ἀλλὰ καὶ πέποιθα ὅτι
»ἔσονται. Οὐ γὰρ ἄδικος ὁ θεὸς ὥςτε μὴ καὶ ψυχῆς καθαρό-
»τητα ἐκ περιουσίας προςκληθέντα δοῦναι τῆς νίκης τὸν στέ-
»φανον.» *

Οἷον δὲ περιγράφει αὐτὸν ὁ Θεοφύλακτος ἐν ταῖς μνησθείσαις ἐπιστολαῖς, ἀκήρατον τύπον ἀληθείας, ἔμπνουν εἰκόνα τῆς εἰς τὸν θεὸν πεποιθήσεως καὶ ἀληθῆ ποιμένα τοῦ Χριστοῦ, τοιοῦτον μαρτυρεῖ καὶ ἡ κατωτέρω δημοσιευομένη, εἰς τρίμετρα ἰαμβικὰ ἐντεταμένη, παραίτησις αὐτοῦ ἀπὸ τοῦ κερκυραϊκοῦ θρόνου. Ὡς βλέπομεν ἐκ τοῦ ποιήματος τούτου, ἡ παντοδαπὴ τῶν νησιωτῶν κακία, ἡ ἠθικὴ ἔκπτωσις τοῦ ἐμπεπιστευμένου αὐτῷ ποιμνίου, αἱ ἀντεγκλήσεις τοῦ κερδαλεόφρονος καὶ ἀνελευθέρου ὄχλου κατ' αὐτοῦ, μάτην ζητοῦντος νὰ ὀρθοτομήσῃ τὸν λόγον τῆς ἀληθείας, παρεκίνησαν τὸν Νικόλαον νὰ παραιτήσῃ τὴν ἐπισκοπικὴν ῥάβδον. Συγκαλέσας δ', ὡς φαίνεται, τὸν κλῆρον καὶ τοὺς προὔχοντας εἰς σύνοδον, ἐξέθηκεν αὐτοῖς μετὰ παρρησίας τὸ βάραθρον τὸ διαχωρίζον αὐτὸν ἀπ' ἐκείνων. Ἡ φωνὴ αὐτοῦ ὑπῆρξε σθεναρὰ, ἡ δ' ἀρετὴ κατίσχυσε τῆς κακίας.

Τὸ ποίημα τοῦτο δὲν ἐκδίδεται τὸ πρῶτον ἐνταῦθα. Πρῶτος ἐξέδωκεν αὐτὸ ὁ Μουστοξύδης ἐν Μεδιολάνοις τῷ 1815 ἐν ἰδίῳ φυλλαδίῳ εἰς μέγα 8ον, ἐπιγραφομένῳ Nicolai metropolitae Corcyrae carmen morale. Ἀντέγραψε δὲ τὸ ποίημα ὁ Κερκυραῖος φιλόλογος ἐκ κώδικος ἀποκειμένου ἐν τῇ λαυρεντιακῇ βιβλιοθήκῃ (Plut. V. Cod. X), καὶ τοῦτον τὸν κώδικα ἔθηκεν ὁ ἐκδότης βάσιν τῆς δημοσιεύσεως, καίπερ γνωρίζων τὴν ὕπαρξιν καὶ δευτέρου τινὸς ἐν ᾧ ἦτο γεγραμμένον τὸ ποίημα τοῦτο· εἶνε δ' οὗτος ὁ βατικανικὸς κῶδιξ ὑπ' ἀρ. CVII. Ἀλλ' ἡ ἔκδοσις ἐκείνη ἀπέβη ἕνεκα τῶν πολλῶν ἀντιγραφικῶν παραπτωμάτων τοῦ λαυρεντιακοῦ κώδικος καὶ τῆς ὀλίγης

* Migne ἔνθ' ἀν. τ. 126. ἐπιστ. κγ'.

τότε πείρας τοῦ Μουστοξύδου ἐσφαλμένη ἐν πολλοῖς, καίτοι οὐκ ὀλίγα διώρθωσεν ὁ ἀνήρ. Συνιδὼν δὲ τοῦτο αὐτὸς παρέβαλεν εἶτα καὶ τὸν βατικανικὸν κώδικα καὶ ἐδημοσίευσε βελτιωμένην ἔκδοσιν τοῦ ποιήματος, ἥτις καὶ εἶδε τὸ φῶς ἐν τῇ συγγραφῇ τοῦ Μουστοξύδου Illustrazioni Corciresi, Append. σ. XX. Ἐπανέλαβε δὲ τὴν ἔκδοσιν ταύτην κατὰ τοὺς δύο κώδικας, τὸν λαυρεντιακὸν καὶ τὸν βατικανικόν, καὶ ἐν τῷ παραρτήματι τῆς συγγραφῆς Delle cose Corciresi, ἀλλ' ἄνευ σημειώσεως τῶν διαφόρων γραφῶν, ὡς εἶχε πράξει τὸ αὐτὸ καὶ ἐν τῇ ἐκδόσει τῇ ἐν ταῖς Illustrazioni Corciresi.

Πλὴν δὲ τῶν δύο τούτων γνωστῶν ἀπογράφων ηὐτύχησα νἀνεύρω καὶ τρίτον ἐν τῇ βιβλιοθήκῃ τοῦ Μονάχου, ἐν τῷ ὑπ' ἀριθ. CCXII ἑλληνικῷ κώδικι. Εἶνε δὲ τοῦτο ὀρθότερον μὲν ἐκείνων καθ' ἃ ἤδη ἐξεδόθη τὸ ποίημα τοῦ Νικολάου, πληρέστερον δ' αὐτῶν κατ' ὀλίγους μέν, ἀλλ' οὐσιώδεις στίχους ἐν τέλει, ἐξ ὧν καταφαίνεται ὅτι ἡ παρρησία τοῦ μητροπολίτου ἐπήνεγκε τὸ ποθούμενον ἀποτέλεσμα, καταστήσασα περιττὴν τὴν παραίτησιν αὐτοῦ. Διὰ τούτους λοιπὸν τοὺς λόγους καὶ τὴν σπάνιν τῶν βιβλίων τοῦ Μουστοξύδου, ἐν οἷς ἐδημοσιεύθη τὸ πρῶτον, ἐκδίδω ἐνταῦθα καὶ πάλιν τὸ ποίημα τοῦ Κερκύρας Νικολάου. Καὶ βάσιν μὲν τῆς ἐμῆς ἐκδόσεως ἔθηκα τὸν κώδικα τοῦ Μονάχου, τότε μόνον προτιμήσας τὰς γραφὰς τῶν ἄλλων κωδίκων, ὅτε αὗται ἦσαν ὀρθότεραι προφανῶς. Ὑπὸ δὲ τὸ κείμενον ἐσημείωσα τὰς κακὰς γραφὰς τῶν κωδίκων, τὰς μὲν τοῦ μοναχικοῦ διὰ τοῦ γράμματος Μ, τὰς δὲ τοῦ λαυρεντιακοῦ κατὰ τὴν ἀνάγνωσιν τοῦ Μουστοξύδου ἐν τῇ πρώτῃ πασῶν ἐκδόσει διὰ τοῦ Λ, τὰς δὲ τοῦ βατικανικοῦ, οἵας παρουσιάζουσι σιωπηλῶς αὐτὰς αἱ νεώτεραι ἐκδόσεις τοῦ Κερκυραίου λογίου, διὰ τοῦ Β. Ἐσημείωσα δὲ δι' ἰδίων σημείων, κατὰ τὸ εἰωθός, τὰς ἀρχὰς τῶν φύλλων τοῦ μοναχικοῦ κώδικος ἐν οἷς περιέχεται τὸ ποίημα, ὧν ἡ τάξις εἶνε συγκεχυμένη ἐν τῇ σταχώσει, ὡς θὰ πα-

ρατηρήσῃ ὁ ἀναγνώστης. Ἡ δ'ἀκολουθία τῶν φύλλων ἐν οἷς εὕρηται τὸ ποίημα εἶνε κατὰ τὴν σημερινὴν τοῦ κώδικος ἀρίθμησιν ἡ ἑξῆς· φ.100,α-100,β, 118,β-118,α, 41,α-41,β, 42,α.

Πλὴν τοῦ προκειμένου ποιήματος τοῦ Νικολάου ἀπεδόθησαν αὐτῷ ὑπὸ τοῦ Λέοντος Ἀλλατίου καὶ δύο ἐπιγράμματα, τὸ μὲν εἰς τὸν τίμιον Σταυρὸν, τὸ δὲ εἰς τὸν ἅγιον Ἰωάννην τὸν Χρυσόστομον. * Ἀλλὰ ταῦτα κατὰ μὲν τὸν λαυρεντιακὸν κώδικα εἶνε ἔργον ἄλλου τινὸς μητροπολίτου Κερκύρας, Ἰωάννου,** ἐν δὲ τῷ βατικανικῷ, ἐξ οὗ ἐξέδωκεν ὁ Μουστοξύδης τὴν ἔμμετρον παραίτησιν, ἀποδίδονται εἴς τινα μητροπολίτην Κορίνθου. ***

Ἀλλ' ἀντὶ τῶν ὀλιγοστίχων τούτων ἐπιγραμμάτων, ἅτινα, ὡς ἀποδεικνύεται ἐκ τῶν ἀνωτέρω λεχθέντων, δὲν συνετάχθησαν ὑπὸ τοῦ Νικολάου, ἀποδίδομεν σήμερον εἰς τὸν λόγιον τῆς Κερκύρας μητροπολίτην συγγραφὴν ἀξίαν πολλοῦ λόγου, ἥτις ἔμεινε μέχρι τοῦδε ὅλως ἄγνωστος, κεῖται δὲ ἀνέκδοτος ἔν τινι χειρογράφῳ τῆς κατὰ τὸν Ἄθω μονῆς τοῦ Διονυσίου.

Ὁ κατὰ τὴν ἐμὴν ταξινόμησιν ὑπ' ἀριθ. 271 κῶδιξ τῆς ἀξιολόγου βιβλιοθήκης ταύτης τῆς μονῆς εἶνε βομβύκινος γεγραμμένος κατὰ τὸν ιγ' αἰῶνα τελευτῶντα καὶ ἀποτελεῖται ἐκ φύλλων 321 κατὰ τὴν ὑπὸ χειρὸς τοῦ ιη' αἰῶνος γενομένην ἀρίθμησιν. Καὶ ἐν μὲν τοῖς τελευταίοις φύλλοις, ἀπὸ τοῦ 211,α μέχρι τοῦ τέλους περιλαμβάνει ὁ κῶδιξ διαφόρους ἀσκητικὰς παραινέσεις καὶ κεφάλαια τοῦ ἀββᾶ Κασσιανοῦ καὶ Νείλου τοῦ ἀσκητοῦ. Τὸ δὲ μέγιστον μέρος τοῦ κώδικος ἀπὸ φ.1,α μέχρι φ.211,α κατέχει μεγάλη συγγραφὴ τοῦ Κερκύρας Νικολάου, ὅςτις ἄνευ ἀντιρρήσεως εἶνε ὁ γνωστὸς ἡμῖν μητροπολίτης τοῦ δωδεκάτου αἰῶνος, περὶ οὗ ἐνταῦθα ὁ λό-

* Excerpta rhet. et soph. ἀριθ. 11 παρὰ τῷ Φαβρικίῳ, Bibl. Graec. ἐκδ. Harles, τόμ. ς'. σ. 54.

** Ἴδ. Κατάλογον Bandini ἐν Plut. V. cod. X.

*** Μουστοξύδου Delle cose Corciresi σ. 412.

γος. Ἡ συγγραφὴ ἐπιγράφεται «Τετρακόσια κεφάλαια τοῦ ἁγίου Μαξίμου, ἑρμηνευθέντα παρὰ μητροπολίτου Κερκύρων Νικολάου.» Ἡ δ' εἰς τὰ ἀσκητικὰ κεφάλαια τοῦ ἀββᾶ Μαξίμου, ἀκμάσαντος, ὡς γνωστὸν κατὰ τὸν ζ' αἰῶνα, ἑρμηνεία τοῦ λογίου τῆς Κερκύρας μητροπολίτου ἕπεται ἐν τῷ ἁγιορειτικῷ (διονυσιακῷ) κώδικι εἰς ἕκαστον τῶν κεφαλαίων χωριστά. Τὸ δ' ἑκάστοτε ἑρμηνευόμενον κείμενον δὲν εἶνε πάντοτε γεγραμμένον ὅλον ἐν τῷ κώδικι, ἀλλ' ἐνίοτε ἀποκόπτεται, δηλουμένης τῆς συνεχείας διὰ τῶν λέξεων «καὶ τὰ ἑξῆς.» Σημειωτέον δὲ καὶ τοῦτο, ὅτι δὲν ἑρμηνεύονται ἅπαντα τὰ κεφάλαια τῶν ἑκατοντάδων τοῦ Μαξίμου, ἀλλὰ τὰ πλεῖστα μόνον, κατ' ἐκλογήν, τηρουμένης ὅμως πάντοτε τάξεως περὶ τὸν ἀριθμὸν τῶν κεφαλαίων, ὅςτις προβαίνει κατ' αὐστηρὰν ἀκολουθίαν.

Τῆς δὲ μακρᾶς καὶ σπουδαίας ταύτης θεολογικῆς συγγραφῆς προτάσσεται ὁ ἑξῆς πρόλογος τοῦ ἑρμηνευτοῦ, ἐντεταμένος εἰς στίχους πολιτικούς, οἵτινες ἐν τῷ κώδικι (φ.1, α κ. ἑ.) εἶνε γεγραμμένοι κατὰ συνέχειαν ὡς πεζὸς λόγος·

«Ὁ πρόλογος, ὦ δέσποτα, τῶν σοφῶν κεφαλαίων
ἃ συγγραφὴ τυγχάνουσα Μαξίμου τοῦ μεγάλου,
δι' ὧν ἐκδιδασκόμεθα τὴν εἰς θεὸν ἀγάπην,
πρῶτον μὲν ἐκδιδάσκει σε δι' ἣν αἰτίαν ταῦτα
εἰς τέσσαρας πεπόσωκεν ἑκατοντάδας πάντα.
Τῶν γὰρ τεσσάρων τοῦ Χριστοῦ θείων εὐαγγελίων
τὸν ἀριθμὸν τετίμηκε, καλῶς ποιῶν καὶ τοῦτο.
Τὸ σύμπαν γὰρ μυστήριον τὸ τῆς διδασκαλίας
τῶν πανιέρων καὶ σεπτῶν εὐαγγελίων, λέγω,
εἰς τὴν ἀγάπην καταντᾷ, τὴν μόνην σώζουσάν σε.
Ἀγάπης γὰρ οὐκ ἔξεστι δίχα τινὰ σωθῆναι,
ἐν ᾗ καὶ περιέχεται πρᾶξις ἔνθεος πᾶσα.
Δεύτερον δὲ διδάσκει σε πάλιν οὗτος ὁ λόγος
ὅτι τὸ θεῖον σύγγραμμα τούτων τῶν κεφαλαίων

ἀπὸ πολλῶν συνέλεξεν || ἁγίων φιλοπόνων,
ἀρχαιοτέρων καὶ σοφῶν καὶ θεοφορουμένων,
ὧν τινας καταλέξω σοι τοῦ λόγου προϊόντος,
ὅταν καὶ τὰ κεφάλαια τὰ περὶ τῆς ἀγάπης
ταῦτα καθ' ὅσον δύναμαι καθ' ἓν ἐπεξηγῶμαι.
Ἔπειτα παραγγέλλει σε μετὰ φιλοπονίας
ποιεῖσθαι τὴν ἀνάγνωσιν τῶν κεφαλαίων τούτων,
ὡς δι' ὀλίγων λέξεων, νοῦν πολὺν κεκτημένων
ὠφέλιμον εἰς μάθησιν καὶ ψυχῆς σωτηρίαν,
εἰ μετὰ φόβου θείου τις ἀναγινώσκει ταῦτα.
Οὐκ εὔληπτα καὶ γάρ ἐστι ταῦτα τοῖς μὴ σπουδαίοις,
μηδὲ τὸ πνεῦμα συνεργὸν τὸ θεῖον κεκτημένοις.
Πρέπει δὲ τὴν ἀνάγνωσιν τῶν σοφῶν συγγραμμάτων,
ὡς οὗτος πάλιν ἔλεξεν ὁ Μάξιμος ὁ μέγας,
διὰ ψυχῆς ὠφέλειαν ποιεῖσθαι φιλοπόνως,
μὴ μέντοι, καθὼς βλέπομεν τοὺς πολλοὺς τῶν ἀνθρώπων,
φιλοδοξίας ἕνεκα καὶ φρυάγματος χάριν. ||
Ὁ γὰρ τοιοῦτος ἄνθρωπος οὐκ ἂν ὠφεληθείη
κἂν πάμπολλα συγγράμματα σοφῶν ἀναγινώσκῃ.
Τοσαῦτα μὲν ὁ πρόλογος τῶν κεφαλαίων λέγει.
Κεφάλαια δὲ λέγεται, διότι, δέσποτά μου,
ἀπηρτισμένην ἔννοιαν ἕκαστον ἀποσώζει,
ἅπερ ἐπιχειρήματα καλοῦσιν ἄλλοι πάλιν,
ἀφορισμοὺς δὲ λέγουσι τῶν ἰατρῶν οἱ παῖδες.
Ἐγὼ δὲ τὰ κεφάλαια λοιπὸν ἐκτίθημί σοι,
εἰς τίτλους δὲ τρισκαίδεκα πάντα πεπόσωκά σοι,
ἑκάστῳ τὰ προσόμοια καὶ συγγενῆ συνάξας
μετὰ τῆς ἐξηγήσεως ἑκάστου κεφαλαίου,
ὡς ἂν ἐντεῦθεν εὔληπτα καὶ προσηνῆ φανῇ σοι.

Ὁ ἔμμετρος οὗτος πρόλογος εἶνε, ὡς γίνεται δῆλον ἐκ τῶν

15. || Κῶδ. 1,6. 24. τίς. 26. μηδέ. 31. || Κῶδ. φ. 2,α. 29. ἂ'ν.

λέξεων *δέσποτά μου*, ἀφιέρωσις πρός τινα μονάρχην· εἶνε δ' οὗτος πιθανώτατα αὐτὸς ὁ Ἀλέξιος Α' ὁ Κομνηνός, ἐφ' οὗ γνωρίζομεν ζῶντα τὸν Κερκύρας Νικόλαον. Ἂν δὲ ὑποθέσωμεν, τοῦθ' ὅπερ δὲν ἀπαιτεῖ μέγεθος τόλμης, ὅτι αὐτὸς ὁ αὐτοκράτωρ ἀνέθηκεν εἰς τὸν Νικόλαον τὸν ὑπομνηματισμὸν τῶν περὶ ἀγάπης κεφαλαίων τοῦ Μαξίμου, δυνάμεθα ἐντεῦθεν νὰ ἐξαγάγωμεν τὸ συμπέρασμα, ὅτι ἡ ἀρετὴ καὶ παιδεία τοῦ ἱεράρχου δὲν ἔμεινεν ἀβράβευτος ἐν τῇ αὐλῇ τῶν φιλομούσων Κομνηνῶν.

Καταχωρίζοντες δ' ἐνταῦθα τὸ ποίημα τοῦ Νικολάου ἐπὶ τῇ παραιτήσει αὐτοῦ σημειοῦμεν ὅτι καὶ ἐν αὐτῷ εὕρηνται λέξεις οὔπω τεθησαυρισμέναι παρὰ τῷ Ἐρρίκῳ Στεφάνῳ, αἱ ἑξῆς, *ἐπιτρέμω* ἐν στ. 106 καὶ 115, *ἐσχατόθρονος* στ. 111, *εὐρυβάτης* ὡς προσηγορικὸν στ. 150, *θεοκρότητος* στ. 284, *λυκόκαπρος* στ. 307, *μελάνουρος*, ἐν τῇ σημασίᾳ τοῦ *μοναχός*, στ. 253, καὶ *μυστικοτρόπως* στ. 176. Διδακτικὴ δὲ εἶνε ὑπὸ ἔποψιν γλωσσικὴν καὶ ἡ παραβολὴ τοῦ προλόγου τῆς ἑρμηνείας τοῦ Μαξίμου πρὸς τὰ ἐπὶ τῇ παραιτήσει στιχουργηθέντα. Σημειούσθω π. χ. ἡ χρῆσις τῆς σπανίας λέξεως *ἐκδιδάσκω* ἐν ἀμφοτέραις ταῖς συγγραφαῖς. Τὸ δὲ ὕφος τοῦ Νικολάου ἐν τοῖς στίχοις ἐπὶ τῇ παραιτήσει εἶνε εὐπαρρησίαστον, μεστὸν μένους καὶ μόλις ἀπηλλαγμένον ὕβρεως καὶ ὀργῆς. Ὁ κατέχων τὴν ψυχὴν σάλος ἐπιφαίνεται ἐκ τῆς εἰς πολλὰς βραχείας περιόδους κατατμήσεως τοῦ λόγου, εἰς ὃν ἄλλως παρέχει ὁ ἐπικρατῶν δογματισμὸς χροιὰν εὐθεμελιώτου, δυσκλονήτου εὐσταθείας, ἣν γεννῶσι πεποιθήσεις βαθέως ἐρριζωμέναι καὶ ἀρχαί, ὧν ἡ καταπάτησις ἐγείρει τὴν ἀγανάκτησιν τοῦ ἱεράρχου. Βυθίζων δέ, ὡς ἅπαντες οἱ Βυζαντῖνοι, τὸ κύπελλον εἰς τὴν δίκρουνον πηγὴν τῆς ἀρχαίας παιδείας καὶ τῶν ἁγίων Γραφῶν, φαίνεται μᾶλλον ἐξ ἐκείνης ἀρυόμενος λέξεις τε καὶ ἰδέας. Ἰδίως δὲ δὲν ἀπέβησαν ὅλως ἀπαραγνώριστα παρὰ τῷ ἱεράρχῃ τἀπὸ τοῦ Εὐριπίδου δάνεια.

ΣΤΙΧΟΙ ΙΑΜΒΙΚΟΙ

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΚΕΡΚΥΡΩΝ ΚΥΡ ΝΙΚΟΛΑΟΥ

ΓΕΓΟΝΟΤΕΣ ΕΠΙ ΤΗΙ ΠΑΡΑΙΤΗΣΕΙ ΑΥΤΟΥ

Στηλογραφία τῆς ἐμῆς ῥαθυμίας.

Ψυχὴ διέγνως ὡς τὰ τοῦ βίου πλάνη.
Μὴ κάμνῃς λοιπόν, μὴ περιττά μοι φρόνει.
Ψεῦδος, φενάκη πάντα καὶ φλυαρία,
εὐδοξία, πλοῦτός τε, σωροὶ χρημάτων·
ὕποπτα πάντα, ῥῶσις, εὔκλεια, κρότοι.
Τοῦτ' ἐστὶ πιστὸν ἄρτι, τοῦτο καὶ μόνον,
τὸ τῶν ὅλων ἄπιστον ὡς παρὸν βλέπειν.
Ὁ πλοῦς σκοτεινός, ἡ θάλασσα πλησμία,
κρύφ' ἄλλα δεινά, πειραταί, τρικυμίαι.
Καὶ ναυτία μὲν ἐκταράττει καρδίας
τῶν ἀγρυπνούντων, οὐ καθευδόντων λέγω,
ἐπεί περ ἀνάλγητος οὐ νήφων ἅπας,
ὡς νῆψις αὖθις τῆξίς ἐστι σαρκίων.
Λιμὴν δὲ σωτὴρ οὐδαμῶς τοῖς ἐν ζάλῃ,
οὐ πυρσός, οὐ σύνθημα σῳζόντων φίλων.

3. περισσὰ ΑΒ. φρόνη Μ. 5. πλοῦτος καὶ σωροὶ Μ. 6. κρότος ΑΒ. 8. παρ' ὧν Α. 10. κρύφαλα Μ. κρύαλα Α. ὕφαλα Β. 11. ναυτικὸς Α. καρδίαν Α. 14. τῆξις ἐστὶ ΜΑΒ. 15. σάλῳ ΑΒ. 16. πυρσὸν Α.

Λαοί, τί ταῦτα καὶ πόθεν τὰ τῆς ζάλης;
ἦ παντὶ σαφὲς ὡς παρ' ἡμῶν ὁ κλύδων.
Αὔραις γὰρ αὐτὸν ἰδίας ἀκρασίας
ἐγείρομεν ζέοντα ταῖς τρικυμίαις,
ὅταν παρέντες τὰς ἀπ' ἀρχῆς ἐλπίδας
κλώθωμεν ἀσύγκλωστα πολλῇ μωρίᾳ.
Εἰκὼν τὰ τῇδε πάντα νυκτομαχίας·
ὡς ἐν βαθυτάτῳ γὰρ ἀλλήλους σκότει
κεντοῦμεν ἐμπίπτοντες — ὢ τῆς μανίας, —
κακὸς δ' ὁ μὴ δρῶν παρὰ κακοῖς κακίαν.
Ἕκαστος οὖν ἕκαστον εἰς ἀβουλίαν
ζητοῦμεν ὡς μάλιστα νικᾶν ἀθλίως
καὶ συντελοῦμεν πάντες εἰς μοχθηρίαν,
ἔρανον ὥςπερ ἐκτελοῦντες ἐν μέσῳ
πάνδημον, ἀπέραντον μέχρι θανάτου.
Μόνος γὰρ αὐτὸς ἐξανιστᾷ τῆς μάχης
εὐεργετῶν ἅπαντας οἷς πλησιάσῃ.
Ἐν τῷ πονηρῷ πάντα τὸν κόσμον λέγει
κεῖσθαι σοφός τις ἐνθέως καὶ πανσόφως·
ὃν ἄρτι καὶ μάλιστα τοιοῦτον βλέπω
ἀποφυγείσης εἰς τέλος τῆς ἀγάπης,
κατακρατησάσης δὲ τῆς μοχθηρίας.
Τίς οὖν ἐν αὐτῷ προςμένων φύγῃ βλάβος,
τίς οὐ φλογισθῇ καρτερῶν πυρὸς μέσον;
ὄψις δὲ ποία καπνὸν ἀλύπως φέρῃ;
Τί λοιπὸν ἀλέξημα, τίς σωτηρία;
Ἐπιστάτα, δίδασκε ποῦ στῆναι δέον.
|| Ἃ γὰρ παρ' ἡμῖν οὐκ ἐφικτὰ τυγχάνει

17. τοιαῦτα Λ. 18. ἢ ΜΛ. 21. ἀπαρχῆς Μ. 22. τιμωρία Λ. 24. καταλλήλους Λ. 25. ἐκπίπτοντες ΛΒ. 26. κακῶς δ' ὁ Λ. 31. ἄχρι ΛΒ. 32. μέθης Β. 33. οἷος Μ. 36. βλέπε Μ. 37. ἀποψηγήσης Μ. 39. φύγει ΜΛ. βλάβην ΛΒ. 40. φλογισθεῖ Μ. μένον Μ. 41. ποῖα Μ. καμνῶν ἀλύπης Λ. φέρει ΜΛΒ. 43. τοῦ Μ. 44. || Κώδ. φ. 100, 6.

ἀνυστὰ σοὶ πέφυκεν ὡς θεῷ μόνῳ.
Γνώριζε τοίνυν ἣν πορεύσομαι τρίβον
μισοῦντα τὴν νῦν, κἂν δοκῇ τιμητέα.
Ἔσχατον αἰτῶ βαθμὸν ἀντὶ τοῦ θρόνου
οὗπερ κατεστέναξα πολλὰ πολλάκις,
ἄκανθαν αὐτὸν καὶ διωγμὸν καὶ λόγον
εὑρὼν ἀπ' ἀρχῆς ἢ κενὴν μακαρίαν.
Κάτω τιθοίμην οὐκ ἐρῶ προστασίας
ἥτις περικνίζει με κέντροις μυρίοις.
Γυμνὸς γὰρ ἦλθον εἰς τὸ κλαυθμῶνος πέδον
καὶ τοῦδε γυμνὸς ἐξελεύσομαι πάλιν.
Ὅθεν τί μοχθῶ καὶ ταράττομαι μάτην,
γυμνὴν γινώσκων τὴν τελευτὴν τοῦ βίου;
Τὰ δεσπότου πρόβατα ποιμαίνειν μέγα,
ἀλλ' εἴ τις αὐχεῖ Πέτρος εἶναι τὴν χάριν
ἢ μέτριον μίμημα τοῦ Πέτρου φέρειν.
Ἐμοὶ δὲ τῷ μάλιστα πάντων ἀθλίῳ
φεύγειν, σιωπᾶν, ἡσυχάσειν ἁρμόσει,
τὸ «μαίνεται Θάμυρις» οὐ δεδοικότι.
Οὐ ποιμένων χρεία τις αὐτοῖς ἀρτίως.
Θᾶττον διδαχθῇς ἐν μέσῳ πονηρίαν
ἤ περ διδάξεις ἀρετὴν τοὺς ἐν μέσῳ.
Οἷς συγκακουργῶν εὐχερῆ ζήσεις βίον,
ἄλλως δὲ ποιῶν οὐκ ἀνὴρ δόξεις φίλος.
Ὁ γοῦν συνιὼν ἐν πονηραῖς ἡμέρας
ἔσται σιωπῶν, ὡς παραγγέλλει λόγος,
καὶ δεῖ λαβέσθαι τῆς φίλης ἀπραξίας

45. ἀνυστά σοι ΜΒ. 47. μεσοῦντι Α. μισοῦντι Β. τιμητέαν Α. 51. ἀπαρχῆς Μ. καινὴν Α. μιαρίαν ΑΒ. 54. παρῆλθον ΑΒ. τὸν κλαυθμῶνος βίον ΑΒ. 56. ταράσσομαι Α. 58. τοῦ Μ. 62. ἁρμώσει Μ. 63. δεδωκότι Α. 64. χρεία γὰρ ἐν τοῖς ἀρτίοις Α. 65. θάττον Α. διδαχθεὶς ΜΑ. 66. εἴπερ ΜΑΒ. διδάξει Μ. διδάξαις Β. 70. παραγγέλει Μ.

ἢ προξενεῖν πέφυκεν ἀταραξίαν.
Ὦ τάγμα θειότατον, ὢ πάντων ἅλας,
— πῶς εὐστόχως εἴποιμι, πῶς εὐσχημόνως; —
οὐ χρωματισμὸν ᾠόμην τὰ σεμνά σου.
Τῆς γὰρ θυγατρός φησι τοῦ βασιλέως
ἔσωθεν ἡ σύμπασα δόξα τυγχάνει.
Λίαν ἐπαινεῖν οὐκ ἔχω συναυλίαν
ἐν ᾗ τὰ σεμνὰ σχηματισμὸς καὶ μόνον,
ἐν ᾗ τὰ πολλὰ τεχνικὸν τρέχει δρόμον,
ἁπλῶς δέον μάλιστα καὶ σοφῶς τρέχειν·
ἐν ᾗ τὰ δυςπρόσιτα καὶ πλήρη φρίκης
ἅπασιν εὐπρόςιτα καὶ πόρος βίου·
ὅπου περ ἀρκεῖ ῥήματ' ἀντὶ πραγμάτων·
ὅπου θρόνους δίδωσι φιλία χύδην,
γνῶσις δὲ καὶ παίδευσις, αἰδώς, εὐθύτης
καὶ τῶν Νόμων Πλάτωνος ἀργοῦσι πλέον.
Ἂν οὖν τις ταῦτα καὶ λόγῳ μακαρίσῃ
«οἶκοι τὰ Μιλήσια, μὴ γὰρ ἐνθάδε»
|| σαφῶς ἀκούσει τὴν πάλαι παροιμίαν·
ὅπου θρόνος μὲν ἀποσεμνύνει λόγον,
λόγος δὲ κοσμεῖν οὐ δεδύνηται θρόνον·
ὅπου σοφοὺς δείκνυσι καὶ θρόνος μόνος,
ἡμεῖς δ' ἀβούλως, ὡς ἔοικεν, ἐκ νέου
πόνοις κατεξάνθημεν οἵοις καὶ πόσοις
ὡς μικρὸν αὐχήσωμεν ἐν κτήσει λόγων·
ὅπου τὸ μεῖζον ἢ τὸ μεῖον οὐ τρόπου,
βαθμοῦ δὲ σαφῶς ὃν δέδωκεν ἡ χάρις·

73. ἅλις Λ. 76. θυγατρὸς φησὶ ΜΛ. 77. ξύμπασα Β. 78. ξυναυλίαν Β. 79. χρηματισμὸς κανόνες Λ. καὶ μόχθος Β. 81. ἁπλῶς Λ. 82. πλήρης Μ. 84. δ' ἐκεῖ Λ. 88. τίς Μ. αὐτὰ καὶ μακαρίσῃ λόγῳ ΛΒ. 89. μηλήσια Μ. 90. || Κώδ. 118, 6. ἀκούσῃ ΜΛ. 91. θρόνον Μ. λόγος Μ. 92. οὐδὲ δύναται Λ. 97. ἢ τὸ μεῖζον οὐ τρόπος Λ. 98. δίδωσιν Β.

σὺ δ' ὡς θέλῃς νόησον ἣν λέγω χάριν·
ὅπου τὰ πάντα κυκεὼν εἶναι θέλει·
ὅπου περ ἀντᾴδουσι τοῖς κύκνοις ψάροι·
ὅπου βλοσυρὸν καὶ λεόντειον βλέπειν
πίθηκος αὐχεῖ καὶ λέων τοὐναντίον
στέργει ταπεινὸν καὶ πιθήκειον βλέπειν·
ὅπου περ ἀνὴρ δεξιὸς φαγεῖν μόνος
τὸν δεινὸν εἰπεῖν οὐκ ἐπιτρέμει λόγον.
Σκληρὸν μὲν εἰπεῖν, ἐκλαλητέον δ' ὅμως·
οὐ γὰρ ξένον λέγειν τι τῶν πεπραγμένων,
ὥςπερ ξέναν πράττειν τι τῶν παρ' ἀξίαν·
θείου χάριν θαύμασον ἢ θεοῦ χάριν,
ὅταν θεοῦ χάρις μὲν ἐσχατοθρόνους,
ἀνθρωπίνη χάρις δὲ καὶ πρωτοθρόνους
καινοπρεπῶς ἔδειξέ τινας πολλάκις,
ὡς ἄν τις ὡς μάλιστα καὶ ταῦτα βλέπων
τὰς ὧδε τιμὰς εὐχερῶς παρατρέχῃ·
ὅπου τὸ δόξαν σήμερον τῶν ἀδίκων
τῶν ἐνδίκων ἔδοξεν αὔριον πάλιν·
ὅπου τὰ συμπίπτοντα κρατεῖ κανόνων,
οὐ μὴν δὲ τἀνάπαλιν ὥςπερ ἣν θέμις·
παίζειν ὅπου πάρεστιν ἐν μὴ παικτέοις·
παίζειν γὰρ ὡς μάλιστα ταὐτὸν ψηφίσει
καὶ ποιμένων ψήφισμα ποιεῖν ἀρτίως·
ὅπου καλὸς μὲν πᾶς ἐπ' εὐρίπου πλέων
ὃς πάντα πᾶσι γίνεται, πλὴν οὐ Παῦλος,

99. ἐθέλεις Μ. θέλεις νοῆς ἣν λέγεις Λ. 101. ψᾶρες Λ. ψάρες Β. 102 λεόντεον Λ. 104 πηθήκειον Μ. 105. φαγῆ Λ φαγεῖν Μ μόνον ΛΒ. 106 δ' εἰπεῖν Λ λόγος Λ. 108. τί ΜΛ παραξένων Λ. 110. ἢ θείαν ΛΒ. 111 ἐσχάτου θρόνου Λ. 112. προτωθρόνους Μ 113. κενοπρεπῶς Μ ἔδειξε ΛΒ. τινὰς ΜΛ. πολλοὺς Β. 115. ὧδε Μ. παρατρέχει Μ παραβλέψῃ Β. 116. τοδόξαν Μ. τήμερον ΛΒ. ἐνδίκων ΛΒ. 117 ἐκδίκων ΛΒ. 119. τ'ἀνάπαλιν Λ. ὡς που Λ. 120. ἂν μὴ Λ. πεκταίοις Μ. 121. ταυτὸν ΜΛ. ψηφίσι Β. 123. ἀπ' κατὰ διόρθωσιν ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἐπ' Μ. ἀπ' Μ.

ἵνα τὰ Χριστοῦ δίχα Χριστοῦ κερδάνῃ,
αὖθις δὲ κακὸς ὃς μίαν βαίνῃ τρίβον
τὰς διόδων ἄριστα καμπὰς ἐκκλίνων.
Υἱὸς λέγων δίκαια πατρὶ θνησκέτω
νόμος παλαιός· ἀλλ' ὅρα μοι καὶ νέον.
Κτανεῖν λέγων δίκαια τοῖς ἀνωτέρω
νῦν σύντομον μάνθανε διδασκαλίαν.
Θέλεις ἀρέσκειν; βοῦν ἐπὶ γλώττης φέρε
καὶ πάντ' ἐπαίνει καὶ τὰ πρὸς χάριν λέγε.
‖ Οὕτω γάρ, οὕτω, κἂν τὰ πάνδειν' ἐργάσῃ,
ἀπλὴξ ἀπέλθῃς, οὐ νόμους ἐπιτρέμων.
Καὶ συλλαβὼν εἴποιμι, μὴ διατρίβων,
πολλοῖς ἀρέσκων εὐπραγήσεις ἐν βίῳ,
σοφοῖς δ' ἀρέσκων ὑποχώρει τοῦ μέσου
ἢ πικροποιὰ πάντοθεν δέχου βέλη.
Ἐγὼ δὲ δειλός· ἅλις οὖν μοι τραυμάτων.
Οὐκ οἶδ' ἀρέσκειν οἷς ἀπαρέσκω κρίνων.
Κέντει με, παττάλευε, καιροῦ πικρία,
ὡς ἀσθενὴς ἔγωγε πράγματα βλέπειν
οὐ τλητὰ τοῖς ἔχουσι μικροψυχίαν·
οὕτω γὰρ ἐκράτησε τὸν ζῆλον λέγειν,
ὡς τὴν φυλακὴν τῶν νόμων καὶ κανόνων
αὖθις καλεῖν ἔδοξε φιλοδοξίαν,
ὡς αὖ κατωνόμαστο φιλανθρωπία
ἅπαν ἀδιάστικτον ἐν τοῖς τιμίοις.
Οὐκ οἶδα συμπλεῖν οὐδαμῶς εὐρυβάταις
καὶ δεῖ με σιγᾶν καὶ καθῆσθαι μακρόθεν.

125. τυγχάνει Μ. 126. βαίνει ΜΛΒ. 127. διόδους Λ. 128. θρησκέτω Μ. 131. θαύμαζε Λ. 132. γλώσσης ἔχε ΛΒ. 134. ‖ Κώδ. 118,α. 136. δια τρίβων Λ. εἴποιμι συντόμῳ λόγῳ Β. 138. δ' λείπει ΜΛ. 140. οὖν μὲν Λ. 141. ἀπαρέσκειν κρίνω ΛΒ. 142. μὲν παττάλαβε Λ. πατάλευε Μ. 148. ὅς Μ. κατωνόμασε φιλανθρωπίαν Μ. 150. συμπνεῖν Λ. εὐρυβάταις Μ. 151. μὲ Λ. καθεῖσθαι Μ.

Ἄκομψός εἰμι πρὸς πυκνὰς μετακλίσεις
αἳ προξενοῦσιν ἐνθάδ' εὐημερίαν.
Οὐκ οἶδ' ἐπαινεῖν ἃ στενὴ γνώμη φέρει.
Ἀκριτομυθῶν οὐδαμῶς τέρπει μέ τις.
Φορεῖν ἐγὼ κόθορνον ἀφυῶς ἔχω.
Ἁπλοῦς ἐπλάσθην· ἁπλότης με τερπέτω.
Κἂν σύνθετος πέφυκα τὴν διαρτίαν,
φύσει τὸ μικτὸν, οὐ φρονήτει δεικτέον,
ὃ καὶ τὸ παράγγελμα τοῦ πάλαι νόμου
δόξεις, δηλοῦν τοῖς θεωρεῖν εἰδόσι,
φέρειν ἀπεῖργον χαλκὸν ἅμα χρυσίῳ.
Οὐκ ἂν γενοίμην ποικίλος χαμαιλέων,
οὐκ ἂν πολύπους ἐξαμείβων τὰς χρόας.
Εἴη δέ μοι ζῆν ἀνυπόκριτον βίον·
δούλων γὰρ ὑπόκρισις, οὐκ ἐλευθέρων,
κἂν εὐπραγεῖν λέγωσι, μὴ μακαρίσῃς.
Ψευδὲς γὰρ εὐτύχημα πίπτει ταχέως
καὶ φαῦλον ἐμπόρευμα φωρᾶται χρόνῳ.
Ὄλοιτο πᾶσα διπλόη κερδαλέα.
Παύσῃ κἂν ὀψὲ κόσμος ἐκ πονηρίας.
Πλὴν ἀλλ' ὁ κόσμος, ὡς ὁ δεσπότης ἔφη,
πᾶν ἴδιον πέφυκε φιλεῖν ἐκθύμως·
ἐν τῷ πονηρῷ κείμενον γὰρ οὐκ ἔνι
στρωμνὴν μισῆσαι τὴν ἑαυτοῦ καὶ κλίνην
ἕως ἀμειφθῇ πάντα μυστικοτρόπως,
τοῦ δημιουργοῦ καθίσαντος εἰς κρίσιν.
|| Ἄνθρωπον οἴμοι, τοῦ θεοῦ τὴν εἰκόνα,
ἡ φαυλότης δείκνυσι φευκτὸν θηρίον·
χεῖρον γὰρ εἰπεῖν εὐλαβοῦμαι τὴν φύσιν,

152. ἄκομψος Μ. εἰμὶ ΜΛ. μετακλήσεις Μ. 155. μέ τις Λ. 159. δεκταῖον Μ. δεκτέον Λ. 161. δαλοῦντες Λ. 165. με Λ. 170. ἀλλοῖτο Λ. κεσδαλέα Λ. 171. παύσοι ΜΛ. 175. μισεῖσαι Μ. 176. ἀμοιφθῇ Μ. 178. || Κώδ. 41, α.

τὸ πρᾶγμα δ' αὐτό, φησὶν ἡ παροιμία,
δείξει προϊὸν οἷόν ἐστι φαυλότης.
Θὴρ συκοφαντεῖν οὐ γινώσκει τὸν πέλας·
θὴρ ἀχαριστεῖν οὐκ ἐπίσταται φίλοις·
ὁ θὴρ φιλήσας οὐ διαστρέφει πάλιν·
ὁ θὴρ κορεσθεὶς οὐκ ἀπαιτήσει πλέον.
Οὐ μάχεται θὴρ ἂν παρέλθῃς ἡσύχως·
οὐ ψεύδεται θὴρ οὐδὲ διπλόην φέρει·
οὐ δέξεται θὴρ ἀγγέλους χρυσορρόας·
ἄπεστι θηρῶν ἡ φιλοχρηματία,
δι' ἣν γέμει σύμπασα κακῶν ἡ κτίσις·
ὑποκρίσει ζῆν οὐ φιλοῦσι θηρία,
τὸ νῦν ἐπιτήδευμα τῶν σεμνοτρόπων·
φθόνος παρ' αὐτοῖς οὐκ ἄγει παρρησίαν·
τύφος παρ' αὐτοῖς οὐκ ἔχει χώραν ὅλως,
τὰ δύο ταῦτα τῶν σκοτεινῶν δαιμόνων
ἃ φεῦ κατῆλθε καὶ πρὸς ἀνθρώπους πάθη.
Εἴ πού τι δὲ πρόςεστι τούτων θηρίοις,
φύσει πεφυκὸς οὐ λογισθῇ κακία·
προαιρέσει γάρ, οὐ φύσει τὰ ψεκτέα.
Δορκὰς διέδρα πολλάκις ἀπὸ βρόχων,
ἄνθρωπος ἀνθρώπου δὲ πάγην οὐ φύγοι,
φίλου δοκοῦντος, εἶτα πηγνύντος πάγην.
Ὁ νῦν τὸν ἄρτον ἐσθίων σου γνησίως
μετὰ βραχὺ πλήττει σε δυσμενοῦς πλέον·
ἄλλοι δ' ἐν αὐτῷ τῷ καλῶς πάσχειν ἔτι
ἔνυξαν ἐξάπινα τοὺς εὐεργέτας,
ὃ καὶ κατ' αὐτοῦ τοῦ θεοῦ καὶ δεσπότου

182. οἷον ἐστὶ ΜΛΒ. 185. φέλησας Λ. 186. κόρθεὶς Λ. 188. ψεύσεται Λ 191. ξύμπασα Β. 194 ἔχει Μ. 195 ἄγει Μ. 198 δέ τι Λ. 199 φύσαι Λ. λογισθῇς κακίᾳ Μ. 200 προαίρεσις Μ. φύσει ψευκτέα Μ. 202. φύγει Λ. φύγῃ Β. 203. πηγνῦντος ΜΛ. 206. τῷ λείπει Μ. 207. ἐξάπεινα Μ.

ἔδειξε κακῶς τῶν μαθητῶν τις πάλαι.
Τοιοῦτόν ἐστι φαυλότης ἀνθρωπίνη.
Συνοικίαν φύγοιμι τοιαύτην, λόγε,
ἐρημίαν εὕροιμι πρὸς κατοικίαν
ὅπου ταραγμὸς ἢ κυδοιμὸς οὐκ ἔνι,
ὅπου προςελθὼν ἀγγέλων ζήσεις βίον,
ὅπου σχολάσας τοῦ θεοῦ μᾶλλον τύχοις,
ὃ κέρδος ἕξεις ἀντὶ κερδῶν ἀθλίων.
Δόξα μεγίστη δόξαν ἀφεῖναι κάτω·
Γραφῇ σχολάζειν τῶν τροφῶν ἡ βελτίων·
τροφὴ κρατίστη προςλαλεῖν τῷ δεσπότῃ.
‖ Ταύτης με, Χριστέ, τῆς τροφῆς πλῆσον μόνης·
ὃς ἐκδιδάσκεις οὐκ ἐπ' ἄρτῳ ζῆν μόνῳ,
ἀλλ' ἐν λόγῳ μάλιστα πιστῶν καρδίας·
ὃς οὐδὲν οὕτω δῶρον ἀνθρώπου θέλεις
ὡς λιτόν, ἀπέριττον, ἄσκευον βίον,
ὃ καὶ διδάσκων πρακτικῶς καὶ πανσόφως
ποῦ τὴν κεφαλὴν οὐκ ἔχειν ἔφης κλῖναι.
Ἀλλ' οὖν τί πάθω; Νῦν γὰρ ἡ μοχθηρία
ὁμοῦ τὰ πάντα συγκλονεῖ κλόνον μέγαν.
Ὡς λοιπὸν αὐτῇ καὶ τὰ τῆς ἐρημίας
ἁλωτά, βατὰ καὶ προςιτὰ τυγχάνει,
πτέρυξι δ' οὐκ ἔξεστιν ἀρθῆναι πάλιν
ἄνω πρὸς ὕψος ἢ καλυφθῆναι κάτω,
ὡς τοὺς δάκνειν θέλοντας ἀνθρώπους φύγω.
Σῶτερ, περικράτησον, αὐτὸς εἰπέ μοι
πῶς τλήσομαι, πῶς, τὴν ἐν ἀνθρώποις ζάλην,
ὀβριμοεργοῖς, χαλεποῖς, ἀσυνέτοις,

209. ποτὲ τῶν Λ. βαβαὶ Β. 210. τοιοῦτον ἐστὶ ΜΛΒ. 211. λόγου Λ. 213. ἔτι Λ. 215. τύχῃς Λ. 216. μυρίων Β. 218. γραφῆς Λ. γραφαῖς Β. τῇ βελτίω Μ. 219. τρυφὴ Β. 220. ‖ Κώδ. 41,6. μοι Λ. 221. ἐπάρτω μόνον Μ. 223. θέλει Μ. 227. ὢ τῶν παθῶν Λ. ὢ τί πάθω Β. 230. τυγχάνειν ΜΒ. 235. τὰ Λ. ζάλῃ Λ. 236. ὀμβριμοεργοῖς ΜΛΒ. ἀσυνθέτοις ΜΛ.

ἀεὶ κύκλους βαίνουσι τῆς μοχθηρίας·
οἳ φαῦλα μὲν πράττουσιν ἐξ ἐμπληξίας,
ἄλλους κατακρίνουσι δ' ἐκ φιλαυτίας.
Ἆρ' οὖν ἐγὼ βέλτιστος; οὐχ οὕτω λέγω,
κἀγὼ κακὸς μέν, ἀλλ' ἐμαυτῷ καὶ μόνῳ.
Ἐκεῖνό φημι, φευκτέον μοι τοῦ μέσου,
ὃς τοῦτο πρὸς καύχησιν ἀσκήσας ἔχω,
τὸ τὰς πονηρὰς ἐκκλίνειν συνουσίας.
Ἄφες καθίσω, κλαύσομαι τὰ κακά μου,
ἀπειροπληθεὶς τὰς ἁμαρτίας ἔχων.
Οὐ ποιμεναρχεῖν, ἀλλὰ πενθεῖν ἐκρίθην.
Δειλός τίς εἰμι καὶ βραδύγλωσσος λέγειν.
Οὐ πάντα πᾶσι γίνομαι Παύλου τρόπον,
ὃς οὐδ' ἐμαυτῷ προςδιαρκῶ πολλάκις.
Τί καὶ πονοῦμεν τοὺς ἀνηνύτους πόνους;
Κἂν πάντα προςλάβῃ τις, οἴχεται τέλος.
Μηδὲν πλέον γένοιο πλὴν θεῷ φίλος.
Τοὺς οὐρανοὺς πέφθακεν ὃς βιοῖ κάτω
βίον ταράχου καθαρὸν καὶ βρασμάτων.
Σώζοιό μοι, Κέρκυρα, σώζοιο, θρόνε,
ἄλλῳ προςαρμόσθητι καλῷ νυμφίῳ
τῷ νυμφαγωγήσοντί σε πρὸς ἀξίαν,
ὃς ἕδνα πολλὰ καὶ πρέποντα προςφέρει.
Χαίροιτε, τέκνα τῆς ἐμῆς κληρουχίας.
Ἄλλος δεχέσθω τὴν ὑμῶν προστασίαν
ἐν τῷ μέσῳ τις καὶ τὸ πῦρ σκαλευσάτω.

237. τὴν μοχθηρίαν Λ. 238. πράττουσι Λ. 240. οὐχ' Μ. 242. ἐκεῖνο φημὶ ΜΛΒ. φευκταῖον Μ 243. ὡς Β. προσκαύχησιν Μ ἀσκήσειν ΛΒ. 244. πονηρῶν Λ ξυναυλίας Β. 246. ἀπειροπληθῆ τὴν ἁμαρτίαν Λ. ἔχω Β. 248. τις εἰμὶ Μ. 249. παντάπασι Μ. παῦλου Λ. 250 ὡς Λ. 251. τί γοῦν Β. 252. τίς Λ οἴχεται σπανίως Λ. 253. μηδὲν Μ. γίγνοιο Μ. θεοῦ Λ. 254 τοὺς ἀνθρώπους Λ. 255 βίον καθαρὸν ταραχῆς Β. βρωμάτων Β. 258. νυμφαγωγήσαντί ΜΛΒ. γε Λ. 259. ἕδνα Μ. Ὁ στίχος 259 προηγεῖται τοῦ 258 ἐν τῷ ΛΒ. 260. χάριτε Μ. 262. τὶς Λ.

Εἴληφα δ' αὐτὸς τῶν μελανούρων κόρον.
Οὕτω γάρ, οἶμαι, τῇ θεοῦ συνεργίᾳ
καὶ τὰς παρ' ὑμῖν ἐκφύγω σελευκίδας,
|| τὰς ἀρχικὰς δήπουθεν ἀγερωχίας,
κἂν πάντα προςλάβωσιν οὐ πληρουμένας.
Αἷς οἷα πάσχω πῶς παραστήσω λόγῳ,
ὅταν κατεσθίωσι τοὺς ἄλλων πόνους,
ὅταν λεβητίζωσιν ἀνθρώπων κρέα
κηφῆνες ἢ κόρακες ἢ Λαιστρυγόνες,
οὓς ἀνδροφαγεῖν μυθικὸς γράφει λόγος ;
Κλέπται μεγάλοι τῶν ἐλαττόνων φόβος·
ληστάς τις αὐτοὺς ἐν πόλει καλῶς λέγει
καὶ δημίους, ἄλλος δὲ πανδήμους πάλιν,
οἳ καὶ μετεγγράφουσιν ἡμῖν κακίαν.
Λήθην ὅθεν τίθεσθε τῶν ἐμῶν λόγων·
τὸ γὰρ κακὸν πρόχειρον ἡδονὴν ἔχον.
'Αλλ', ὦ φίλοι, στείλασθε βελτίω τρίβον,
ἐπεί περ ἣν στέλλεσθε πιστοῖς οὐ πρέπει.
Οὐκ αἰσχρὸν εἰ πείθεσθε τοῖς ἐμοῖς λόγοις,
ἀλλ' αἰσχρὸν εἰ πείθεσθε λοιμοῖς ἀνδράσιν.
Αὕτη πρὸς ὑμᾶς διάλεξις ἐσχάτη.
Σὺ δ', ὦ θεοκρότητε καὶ σεβασμία
τῶν ἱεραρχῶν καὶ φίλων συμποιμένων
ὁμήγυρις σύμπασα καὶ συναυλία,
συντάσσομαί σοι συνταγὴν τὴν ὑστάτην
καὶ σύ, κορυφὴ τοῦδέ μοι τοῦ συλλόγου,

264. τὴν θεοῦ συνεργίαν Λ. 266. ἀρχηγῶν Β. ἀρχυχὰς Λ. || Κώδ. 42,α. 267. προσλάβωσι Λ. Ὁ στίχος 267 προηγεῖται τοῦ 266 ἐν τῷ ΛΒ. 271. λεστρυγόνες ΜΛ. 272. λόγος γράφει Λ. 274. ληστὴς Μ. 275. δερμίους Μ. πάλιν πανδήμους Λ. 276. μετεγγράφουσιν Μ. ὑμῖν Λ. 278. ἔχων Μ. 280 στέλλεσθαι Μ. βροτοῖς Λ. 282. λοιποῖς Λ. ἀνδρᾶσιν Μ. 283. ἡμᾶς Μ. 285. συμπυβένων Λ. 286. ξύμπασα Β. 288. τοῦδε Μ.

ἢ καὶ παρηνώχλησα πολλὰ πολλάκις.
Ἔληξε Νικόλαος ἀχρήστων πόνων
ὁ φιλοκάνων καὶ πονηρὸς καὶ λάλος
καὶ τῶν νεαρῶν δογμάτων ἡ κωλύμη·
ἔπαυσεν ἀντίμαχος εἶναι μειζόνων,
ἔπαυσεν ἀντίφωνα φωνεῖν ἐν μέσῳ,
ἀφ' ὧν στυγητὸς καὶ μισητὸς ἐκρίθη.
Ἀλλ' ἡμερούσθω φιλαπεχθήμων ἅπας,
ἐξιλεούσθω καὶ τὰ κέντρα τοῦ φθόνου·
διάστασις γὰρ ἡμεροῖ καὶ θηρία.
Ἔγνων σε, κόσμε, καὶ μόλις πέφευγά σε.
Λαβοῦ, λαβοῦ μου τῆς χειρός, πλαστουργέ μου.
Ἕρπει γὰρ ἐγγὺς ὁ δράκων, ἀλλ' ἀντέχου.
Ὁρᾷς ὅπως σὲ πάντὸς ἀντηλλαξάμην.
Σύ μοι τὰ πάντα τοιγαροῦν γίνου, λόγε,
δι' ὃν τὰ πάντα νῦν παρεῖδον ἀθρόως,
εὐδοξίαν, κέρδη τε, συλλόγους, θρόνον.

—

Τούτων δοθέντων τῇ σεβαστῇ συνόδῳ
ἡ λυκόκαπρος ἐφράγη στωμυλία,
λόγοις ἀποψυγεῖσα τοῖς τοῦ Κερκύρων,
θυμηδίας δὲ παντοῦ κεχυμένης
μόνος στενάζει τοῦ σκότους ὁ προστάτης.

289. παρηνόχλησα Μ. 294. ἀντίφωνος φωνῶν Μ. 295. ἐκρίθην Μ. 297. ἐξιλεούσθων Λ. 299. ἔγνω Λ. 300. λαβοῦ τὴν χειριπλαστουργίαν μου Λ. 302. σε Λ. 303. τοιγάρτοι γενοῦ ΛΒ. 304. ἀθρόα Λ. 305. εὐπραξίαν Β. θρόνους Μ.

ΒΑΣΙΛΕΙΟΥ ΠΕΔΙΑΔΙΤΟΥ

ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΝ ΣΤΙΛΒΗΝ

Τὴν κατωτέρω δημοσιευομένην ἐπιστολὴν ἀντέγραψα τὸ θέρος τοῦ 1876 ἔκ τινος κώδικος ἐν τῇ ἀγγλικῇ Κανταβριγίᾳ, τοῦ μόνου ἑλληνικοῦ τοῦ ἀποκειμένου ἐν τῷ αὐτόθι Fitzwilliam Museum, γεγραμμένου ἐπὶ βομβυκίνου χάρτου κατὰ τὸν ιε′ αἰῶνα. Ὁ κῶδιξ οὗτος περιέχει λόγους δημοσθενικούς, πλὴν δὲ τούτων ὀλίγα τινὰ ἔργα Βυζαντίνων λογίων. Καὶ πρῶτον μὲν πάντων εὕρηται ἐν αὐτῷ διαλογικόν τι ἔργον, οὗ δὲν σώζεται ἡ ἀρχὴ ἐν τῷ ἀκεφάλῳ κώδικι. Γίνεται δὲ ὁ διάλογος μεταξὺ νεκρῶν, Δημοκράτου, Λογοθέτου, Μίνωος, Ῥαδαμάνθυος. Μετὰ τὸν νεκρικὸν διάλογον τοῦτον ἕπεται «ἐπιστολὴ τοῦ αὐτοῦ ἔχουσα καὶ ἔκφρασιν» κτλ. Εἶτα δὲ μετὰ τὴν ἐπιστολὴν ἣν ἐκδίδομεν ἐνταῦθα ἀκολουθοῦσιν «Ἰωάννου μητροπολίτου Εὐχαΐτῶν τοῦ ἐπὶ τῶν ἡμερῶν ἀκμάσαντος Κωνσταντίνου βασιλέως τοῦ Μονομάχου τοῦ καὶ διδασκάλου ὡς λέγεται τοῦ Ψελλοῦ», * μεθ' ὃ τέσσαρες ἐπιστολαὶ ἀνωνύμου τινός, ἐν τῇ πρώτῃ τῶν ὁποίων εὑρίσκομεν τὴν φράσιν «εἰς τὸ πρῶτον καὶ μάλιστα καὶ κυριώτατον ἔαρ ὃ *πρωτοκαίριον* λέγειν τοῖς πολλοῖς σύνηθες», εἶτα «ἐπιστολὴ τοῦ τοῦ Νομικοπούλου κυρίου Ἰωάννου ἔχουσα ἔκφρασιν αἰθίοπος καὶ ἵππου πάνυ ταλαιπορημένου ἐν ᾧ ἐπωχεῖτο ὁ αἰθίοψ» κτλ., τέλος δὲ μεταξὺ ἄλλων συνταγαί τινες ἰατροσοφικαὶ καὶ μαγγανευτικαὶ ἐκ τῶν συνήθων ἐκείνων τῆς παρὰ Βυζαντίνοις σολωμονικῆς.

* Ἐνταῦθά τε καὶ ἐν τοῖς κατωτέρω σημειουμένοις ἀναγράφομεν τὰς ἐπιγραφὰς τῆς περιεχομένης ὕλης μετὰ τῶν ἐν τῷ κώδικι περιεχομένων γραφικῶν παραπτωμάτων.

Ἐκ τῶν ἀνωτέρω κατειλεγμένων φαίνεται ὅτι εἰς ἕνα καὶ τὸν αὐτὸν συγγραφέα ἀνήκουσιν ὅ τε νεκρικὸς ἐν ἀρχῇ τοῦ κώδικος διάλογος, ἡ ἐπιστολὴ ἣν δημοσιεύομεν παρακατιόντες καὶ ἡ εἰς ταύτην ἀμέσως ἑπομένη ἐν τῷ χειρογράφῳ. Ταῦτα δὲ ἂν ἡ ἐπιγραφὴ τοῦ αὐτοῦ ἔχῃ ὀρθῶς καὶ ἂν μὴ πρέπῃ νὰ ὑποθέσωμεν, τοῦθ' ὅπερ ἐνίοτε συμβαίνει ἐν χειρογράφοις τῶν βυζαντιακῶν χρόνων, ὅτι ὁ βιβλιογράφος, μεταγράψας ἐξ ἄλλου κώδικος κατ' ἐκλογήν, συμμετέγραψε καὶ τὰς ἐπιγραφὰς χωρὶς νὰ προσέξῃ πολὺ τίνες οἱ γράψαντες τὰ ὑπ' αὐτοῦ ἀντιγραφόμενα.

Ἀλλὰ τίς ὁ γράψας τὴν ἐπιστολήν; Καίτοι ἡ ἐπιγραφὴ αὐτῆς εἶνε ὑπὸ ἔποψιν γραμματικὴν παραδόξως πως συντεταγμένη, εὐκόλως ἀναγνωρίζεται ὅτι ἐγράφη καὶ ἐπέμφθη πρὸς τὸν διδάσκαλον Κωνσταντῖνον τὸν Στιλβῆν ὑπό τινος Πεδιαδίτου ἀρχιερατεύσαντος· ἐκ δὲ τῆς ἐπιστολῆς αὐτῆς γίνεται δῆλον ὅτι οὗτος ἦτο ἀρχιερεὺς ἐν Κερκύρᾳ. Ὁ Πεδιαδίτης οὗτος δὲν εἶνε μὲν ἀναγεγραμμένος ἐν τοῖς καταλόγοις τῶν ἐπισκόπων Κερκύρας, οὔτε παρὰ τῷ Lequien, * οὔτε παρὰ τῷ Μουστοξύδῃ,** ἀλλὰ δὲν εἶνε ὅμως καὶ ὅλως ἄγνωστος. Ὠνομάζετο δὲ Βασίλειος καὶ ἦτο φίλος τοῦ ἀρχιεπισκόπου Βουλγαρίας Δημητρίου τοῦ Χωματιανοῦ. Τούτου σώζεται ἐν τῷ ὑπ' ἀριθ. 62 ἑλληνικῷ κώδικι τῆς βιβλιοθήκης τοῦ Μονάχου, τῷ περιέχοντι τὰς ἐπιστολὰς καὶ ἄλλα αὐτοῦ ἔργα, «ἐπιστολὴ πρὸς τὸν χρηματίσαντα μητροπολίτην Κερκύρας, τὸν Πεδιαδίτην, περὶ τῶν χειροτονηθέντων παρὰ τῶν βουλγαροεπισκόπων τῶν ἀπὸ τῆς Ζαγορᾶς ἐξελθόντων». Ἐν ταύτῃ ὁ Χωματιανὸς καλεῖ τὸν Βασίλειον «ἄνδρα πάσης ἀρετῆς ἐμπεπλησμένον καὶ δυνάμεως λόγου καὶ σοφίας τῆς τε ἔνδον καὶ τῆς θύραθεν, ἑδραίωμα τῆς πίστεως ἀκράδαντον καὶ ἀσάλευτον, στῦλον ἐναρέτου διαγωγῆς, θαυμαστῶς φωτίσαντα τὴν Κερκυραίων καὶ σπείραντα ἐν ταύτῃ καὶ πανταχοῦ βίου καὶ λόγου θεοειδῆ ἀμαρύ-

* Oriens Christianus τόμ. Β'. σ. 147—150.

** Delle cose Corciresi σ. 407 κ. ἑ.

»γματα».* Σώζεται δὲ τοῦ Βασιλείου Πεδιαδίτου καὶ ἐπιστολὴ πρὸς τὸν πάπαν Ῥώμης Ἰννοκέντιον τὸν Γ', ἣν ἐξέδωκε τὸ πρῶτον ἐκ τοῦ ὑπ' ἀριθμὸν 208 χειρογράφου τῆς ἐν Μόσχᾳ βιβλιοθήκης τῆς ἱερᾶς Συνόδου ὁ μακαρίτης ἀρχιμανδρίτης ἐν Λειψίᾳ Ἀνδρόνικος Δημητρακόπουλος.** Ἐν τῇ ἐπιστολῇ ταύτῃ θαρραλέως ἀντεπεξέρχεται ὁ ἱεράρχης κατὰ τοῦ σχεδίου τοῦ μεγάλου τῆς Δύσεως ποιμενάρχου, σκοποῦντος νὰ συγκαλέσῃ σύνοδον οἰκουμενικὴν ἐν τῷ Λατερανῷ καὶ δεικνύει αὐτῷ τὸ ἄτοπον τῆς συγκαλέσεως τοιαύτης συνόδου ἐν ἀπουσίᾳ τοῦ πατριάρχου Κωνσταντινουπόλεως καὶ τῶν ὀρθοδόξων ἐπισκόπων οἵτινες μετὰ τὴν ἐπελθοῦσαν ἅλωσιν τοῦ Βυζαντίου καὶ τῶν ἑλληνικῶν χωρῶν ὑπὸ τῶν Λατίνων κακοὶ κακῶς ἀπηλάθησαν τῶν θρόνων αὐτῶν.

Μεθ' ὅσα ἀνηνέχθησαν ἀνωτέρω, φανερὸς καθίσταται ὁ χρόνος καθ' ὃν ὁ Πεδιαδίτης ἀρχιεράτευεν ἐν Κερκύρᾳ· ἀνερχόμεθα δῆλα δὴ εἰς τὰς ἀρχὰς τοῦ ιγ' καὶ τὰ τέλη τοῦ ιβ' αἰῶνος. Ἐπειδὴ ἡ μὲν πρὸς τὸν Ἰννοκέντιον ἐπιστολὴ εἶνε προγενεστέρα τοῦ ἔτους 1215 ὅτε συνῆλθεν ἡ ἐν Λατερανῷ σύνοδος, ἡ δὲ πρὸς τὸν Στιλβῆν ἀνάγεται εἰς τοὺς αὐτοὺς χρόνους, ἂν μὴ καί πως ἀρχαιοτέρους. Τοῦτο δὲ μανθάνομεν ἐκ στίχων τινῶν αὐτοῦ τοῦ Στιλβῆ σωζομένων ἐν οἷς ὑπάρχει καὶ χρονολογία τοῦ γεγονότος εἰς ὃ ἀναφέρονται. Εὕρηνται δὲ οὗτοι ἐν τῷ ὑπ' ἀρ. 524 κώδικι τῆς ἐν Βενετίᾳ Μαρκιανῆς βιβλιοθήκης, περιέχοντι σύμμικτά τινα τοῦ Πτωχοπροδρόμου, τοῦ Βαλσαμῶνος, τοῦ Ψελλοῦ καὶ ἄλλων. Αὐτόθι ἀναγινώσκονται ἐν φ. 10,β-18,α «Κωνσταντίνου καΐστωρος καὶ διδασκάλου τοῦ Στιλβῆ στίχοι »ἰαμβικοὶ ἐπὶ τῷ συμβάντι ἐν Κωνσταντινουπόλει θεηλάτῳ

* Ἐν φ. 28,α. Τὴν μὲν ὕπαρξιν τῆς ἐπιστολῆς ἐγνώριζον καὶ ἐσημείωσα, αὐτὸς μελετήσας τὸν κώδικα τῷ 1877 ἐν Μονάχῳ· τὸ δὲ ἀνωτέρω δημοσιευθὲν ἀπόσπασμα μοὶ ἀνεκοινώθη φιλικῶς ὑπὸ τοῦ ἀρχιμανδρίτου κ. Παναρέτου Κωνσταντινίδου.

** Ἐν Ἐθνικῷ Ἡμερολογίῳ Βρετοῦ 1870, σ. 187 κ. ἑ.

»μεγάλῳ ἐμπρησμῷ μηνὶ Ἰουλίῳ κε' ἔτους ‚ϛψε'.» Καὶ ἄρχονται μὲν

«Δεῦτε, τρόφιμοι, δεῦτε, τῆς Βυζαντίδος
«ξυναυλίαν κλαύσωμεν καὶ τραγῳδίαν»

τελευτῶσι δὲ ὧδε·

«δέδοικα μὴ φάντασμα καὶ φλογὸς μόνον
«ἀπεῖπα· πῦρ με καὶ λαλοῦντα συμφλέγει».

Φαίνεται δ' ἐν τοῖς στίχοις τούτοις ὁ Στιλβῆς ἐν Κωνσταντινουπόλει σύγχρονος καὶ αὐτόπτης τοῦ ἐμπρησμοῦ. *

Κατὰ ταῦτα ὁ Στιλβῆς ἔζη περὶ τὰ τέλη τοῦ ιβ' αἰῶνος, ἐπειδὴ ὁ Ἰούλιος τοῦ ϛψε' ἀπὸ κτίσεως κόσμου συμπίπτει πρὸς τὸ ἀπὸ Χριστοῦ ἔτος 1198**. Ἀλλὰ δὲν δυνάμεθα νὰ κρίνωμεν ἀκριβῶς ἂν ἤδη κατ' ἐκεῖνο τὸ ἔτος ὁ Βασίλειος ἦτο μητροπολίτης Κερκύρας, τῆς περισωθείσης αὐτοῦ ἐπιστολῆς ἁπλῶς ἀναφερούσης ὅτι ὁ Πεδιαδίτης ἔγραψε ταύτην ἤδη ἀρχιερατεύων. Τὸ δὲ *ἀρχιερατεύσαντος* νομίζω ὅτι δὲν σημαίνει τυχὸν μεταγενεστέραν τινὰ παραίτησιν ἢ καθαίρεσιν τοῦ ἀρχιερέως, ἀλλ' εὕρηται ἁπλῶς ἐν ἀντιθέσει πρὸς τὰ ἐν τῷ καντα-βριγιακῷ κώδικι προηγούμενα ἔργα τοῦ αὐτοῦ, γραφέντα πιθανῶς πρὸ τῆς ἀρχιερατείας.

Ἡ δὲ προκειμένη ἐπιστολή, γραφεῖσα, ὡς ἐξάγεται εὐθὺς ἀμέσως ἐκ τῆς εἰσαγωγῆς αὐτῆς, δύο ἔτη μετὰ τὴν εἰς Κέρκυραν ἄφιξιν τοῦ ἱεράρχου, εἶνε γεγραμμένη ἐν βαρυθυμίᾳ ἣν

* Τὰς ἀνακοινώσεις ταύτας περὶ τοῦ κώδικος ὀφείλω εἰς τὴν φιλικὴν μέριμναν τοῦ πολυμαθοῦς τῆς Μαρκιανῆς ἐφόρου κ. Ἰωάννου Βελούδου.

** Τὸν Στιλβῆν τοῦτον δὲν πρέπει νὰ συγχύσωμεν μετὰ τοῦ ὁμωνύμου ἐπισκόπου Κυζίκου, οὗ σώζεται ἀπόσπασμα ἑρμηνείας εἰς τὸν προφήτην Ἀβακοὺμ ἔν τινι κώδικι τῆς λαυρεντιακῆς βιβλιοθήκης. Ἴδ. Bandini, Catalogus codicum graecorum bibliothecae Laurentianae Τόμ. Α' σ. 263. Ὁ τῆς Κυζίκου ἐπίσκοπος ἔζησε κατὰ παλαιοτέραν ἐποχήν, ἂν κρίνωμεν ἐκ τῆς ἡλικίας τοῦ λαυρεντιακοῦ κώδικος, ὅστις εἶνε γεγραμμένος κατὰ τὸν ια' αἰῶνα.

συχνὰ εὑρίσκομεν παρὰ τοῖς Βυζαντίνοις, ὅτε ἠναγκάζοντο νὰ ἀνταλλάσσωσι τὰ ἐν Βυζαντίῳ ἀγαθὰ πρὸς τὸν ἐπαρχιακὸν βίον. Διὰ τοῦτο δὲ καὶ πρέπει νὰ γείνῃ ἡ ἱστορικὴ αὐτῆς χρῆσις οὐκ ἄνευ προσοχῆς. Θλιβερὰν εἰκονίζει τὴν κατάστασιν τῆς νήσου ὁ Πεδιαδίτης. Καὶ τὰ μὲν περὶ ἀπαιδευσίας καὶ κακίας τῶν Κερκυραίων λεγόμενα εἶνε ἀνάλογα πρὸς τὰ ὅμοια παράπονα τοῦ Ἀκομινάτου περὶ τῶν συγχρόνων Ἀθηναίων καὶ ἄλλων ἱεραρχῶν περὶ τοῦ αὐτοῖς λαχόντος κλήρου. Τὰ δὲ περὶ νοσηροῦ κλίματος καὶ ἐλλείψεως ὀπωρῶν λεγόμενα εἶνε πάντως ὑπερβολικὰ καὶ πιθανῶς πρεσβυτικῆς δυσκολίας ἐκφράσεις. Ἀληθείας δέ τινος φαίνονται μετέχοντα τὰ λεγόμενα περὶ τῆς πτωχείας τῶν νησιωτῶν καὶ κακῆς καταστάσεως τῶν οἴκων αὐτῶν. Ἐπειδὴ δὲ τοιαύτη δὲν εἶνε ἡ κατάστασις τῆς πόλεως κατὰ τὸν θ' αἰῶνα ἐπὶ Ἀρσενίου, εὐλόγως ἴσως δυνάμεθα νὰ εἰκάσωμεν ὅτι ἡ ἐν τῇ ἐπιστολῇ τοῦ Πεδιαδίτου εἰκονιζομένη ἀπορία καὶ παρακμὴ τῆς Κερκύρας προῆλθεν ἐκ τῶν κακῶν ἅτινα ἐπήνεγκον εἰς τὴν πόλιν αἱ κατὰ τὸν ἑνδέκατον αἰῶνα τελευτῶντα ἐπιδρομαὶ τῶν Νορμαννῶν καὶ ἡ κατ' αὐτῶν ἄμυνα.

Ἀξιοσημείωτος εἶνε ἐν τῇ ἐπιστολῇ ταύτῃ καὶ ὁ τύπος τοῦ ὀνόματος τῆς πόλεως. *Κορυφοὺς* εὑρίσκομεν ὀνομαζομένην τὴν Κέρκυραν, ἐκ τοῦ δικορύφου σχήματος τῆς ἀκροπόλεως αὐτῆς, τὸ πρῶτον παρὰ τῷ Λιουτπράνδῳ, τῷ γνωστῷ πρεσβευτῇ τοῦ αὐτοκράτορος Ὄθωνος κατὰ τὸν δέκατον αἰῶνα, ὅςτις ἐπισκεψάμενος ἐπ' ὀλίγας ἡμέρας τὴν νῆσον κατὰ τὴν ἐπάνοδον ἐκ τῆς εἰς Κωνσταντινούπολιν πρεσβείας αὐτοῦ τῷ 968 λέγει τὰ ἑξῆς «Igitur decimonono Calendas Januarii Leucatem exeuntes. . . decimoquinto ad Coriphus pervenimus. * Ἀργότερον δὲ ἀπαντῶμεν τὸ ὄνομα ἑνικῶς ὡς *Κορυφὼ* παρὰ τῇ Ἄννῃ Κομνηνῇ ** καὶ Νικήτᾳ τῷ Χωνιάτῃ. *** Ἐκ δὲ τῶν δυτικῶν συγγρα-

* Pertz, Monumenta Germaniae historica. Tom. Ε'. σ. 362.

** Ἔκδ. Βόννης Α'. 76,2. 183,5.283,1.284,18. Β'.115,20.128,6.132,1.

*** Ἔκδ. Βόννης σ.96,16.

φέων ὁ μὲν Malaterra καλεῖ τὴν πόλιν Carofium, ἂν ἔχει ὀρθῶς τῶν κωδίκων ἡ γραφὴ, ὁ δὲ Γουλιέλμος ὁ ἀπουλικὸς Coryphum, ὁ δὲ ἀνώνυμος ἐκ Βαρίου χρονογράφος Corfo.*

Τίς δὲ ὁ ἐν τέλει τῆς ἐπιστολῆς τοῦ Πεδιαδίτου ἀναφερόμενος Γρηγόριος δέν μοι εἶνε γνωστόν.

Ἐν τέλει σημειωτέον ὅτι ἐκ τῆς ἐπιστολῆς ταύτης προςθετέαι εἰς τὸν Θησαυρὸν τοῦ Ἑρρίκου Στεφάνου αἱ λέξεις *ἀπαρηγορησία*, *καλυβοπρεπής*, *κελλύδριον*, *προςλάλησις*, *πτωχοεπισκοπὴ*, *συζήτημα*.

* Ἴδ. τὰς σημειώσεις τοῦ Ducange εἰς Ἄνναν τὴν Κομνηνὴν ἐν ἐκδ. Βόννης Τόμ. Β'. σ. 440 κ. ἑ.

ΤΟΥ ΑΥΤΟΥ ΕΠΙΣΤΟΛΗ

ΠΡΟΣ ΤΟΝ ΔΙΔΑΣΚΑΛΟΝ ΚΥΡΙΟΝ ΚΩΝΣΤΑΝΤΙΝΟΝ ΤΟΝ ΣΤΙΛΒΗΝ

ἀρχιερατεύσαντος τοῦ Πεδιαδίτου ὅτε ταύτην ἔπεμψε πρὸς τὸν αὐτὸν Στιλβῆν.

Τιμιώτατε πάντων ἐμοὶ δέσποτα, δεύτερον τοῦτο ἤδη τὸν ζωηφόρον ὁ ἥλιος διεμέτρησεν, ἀφ' οὗ συνεταξάμεθά σοι τὰ ἐξιτήρια, καὶ οὐδ' ὀλιγόστιχόν σοι γράμμα ἐνεχαράξαμεν. Εἴωθε γὰρ τὰ μεγάλα καὶ ἐκπληκτικώτερα τῶν πραγμάτων πρῶτα μὲν παντελῆ σιγὴν ἐμποιεῖν, ἔπειτα ἠρέμα τιθέναι τὰς λαλιὰς καὶ τὰ διηγήματα. Ὃ κατὰ τὸ εἰκὸς ἐπισυμβεβήκει κἀμοί, πρῶτα μὲν ἐννοησαμένῳ ἡλίκου τούτου κατετολμήσαμεν πράγματος, μὴ καθαροὶ ἀψάμενοι καθαροῦ καὶ θεοπρεποῦς, τῆς ὑπερτάτης ἱερωσύνης, εἶτα καὶ πόθεν ἀπεληλάμεθα ποῦ, ἐκ βασιλίδος εἰς ἐσχατιάν, ἐκ πόλεως γραμμάτων εἰς ἀγροικίαν, ἐκ παντὸς καλοῦ εἰς πᾶν τοὐναντίον. Καθὼς οὖν ἄνωθεν ὑπεθέμεθα ἡσυχῇ φθέγγεσθαι τοὺς τοῖς μεγάλοις ἐγκύρσαντας, σπερματικῶς τὰ καθ' ἡμᾶς ‖ ὑπογράψω σοι.'Ιλιόθεν με φέρων ἄνεμος Κικόνεσσι πέλασσε, τοῖς Λαιστρυγόσι, ταῖς Χαρύβδεσι, ταῖς ἀμπώτισι· τούτων γὰρ πάντων ἐν τῷ καθ' ἡμᾶς Ἀδριατικῷ πεπείρατο ὁ πολύμητις. Περὶ τῶν Κορυφαίων εἴτ' οὖν Κερκυραίων τὰ εἰρημένα. Τοῦ κατ' αὐτοὺς δὲ πέρι χωρίου Ἡσίοδος διασαφήσειε κάλλιστα, χείματος μὲν λέγων εἶναι ψυχρόν, θέρους δὲ ἀργαλέον, οὐδέποτ' ἐσθλόν. Οὔτε ἀλέξημά ἐστι τὸν νοσοῦντα εὑρέσθαι, οὔτε νοσήλιον· ἡ τοῦ τόπου δὲ σηπεδὼν...'Αλλὰ παρὰ τοῖς Κερκυραίοις ὁ πεντηκονταέτης ἐστὶν ἐσχατόγηρως, καὶ ὡς ἂν τὸν Ἰάρεδ θαυμάσαις αὐτὸν ὡς μακροβιώτατον, οὕτω τὸν ἑξηκονταέτη ὁ Κερκυ-

2. ἀφοῦ. 3. ὁδ'. 4. εἰώθει. 5. εἰρέμα. 13. ‖ Κῶδ. 10,6 14. πέλασε. 16. πολύμητης. 17. δεπερὶ. 19. οὐδὲποτ'. 23. ἐξηκονταέτη

ραῖος. Κελλύδρια ἐν ἡμῖν πνιγηρά τε καὶ καλυβοπρεπῆ ταῖς ἐν τοῖς ἀμπελῶσι σκηναῖς ἢ ὀπωροφυλακίοις προςεοικότα, ὧν πρὸς καταγέλωτα ἐκφραστέον τὸν ὄροφον. Κάλαμοι κατὰ δυάδα ζευγνύμενοι, βοτάναις συνδεδεμένοι, τὰς κεράμους ὀχοῦσιν, οὐ συγκειμένας κατὰ συνάφειαν, ἀλλὰ διεστηκυίας ἀλλήλων ὅσον συνεκάλυψεν ἡ ἐπικειμένη, ὡς εἶναι καὶ τῷ φλογμῷ καὶ τῷ ψύχει καὶ τοῖς ὄμβροις βάσιμα πανταχόθεν. Ὀπώρα ἀλλ' οὐδὲ μία ἔστιν αὐτόχθων, ῥητέον δὲ ὅτι οὐδὲ μέτοικος. Ἡ τῆς μητροπόλεως ἱκανότης ὁποία οὐδὲ πτωχοεπισκοπῆς· καίτοι τὴν κατὰ κόσμον θυμηδίαν περόνην τῇ ψυχῇ ἐποίησεν ὁ θεός, δι' ἧς ἀνέχεται τὴν προςεδρείαν τοῦ σώματος· «πάλαι γὰρ ἂν τὸν δεσμὸν ἀπέρρηξε τῆς σαρκὸς» τοῦ λέγοντος ἤκουσας. Τί γοῦν τὸ καθέξον ἐνταῦθα ἡμᾶς; Ὁ ἐντεῦθεν λαὸς εὐαγγελικῶν λόγων οὔτε συνίησιν οὔτε ἀνέχεται· λείπεται μήτε αὐτὸν ὠφελεῖσθαι καὶ ἡμᾶς ἐγκεκλεισμένους τῆς Κορυφοῦς τὴν ἐσχάτην ἀμαθίαν νοσεῖν. Ποῦ γὰρ λόγος ἐνταῦθα, ποῦ βίβλος, ποῦ συζήτημα λογικόν; Εὔξαιο θεόθεν φυλάττεσθαι ἡμῖν τὴν ὑγίειαν, τὸ μόνον γλυκὺ ἐνταῦθα ἡμῖν παρηγόρημα. Καί ποτε ἀναβησόμεθα καὶ τὴν γειναμένην προςείπωμεν. Οἶδα μὲν ὡς συναναβήσεται ἡ κακὴ συνοδοιπόρος πενία καὶ κατισχύσει ἡμῶν, τὰ πάντα δὲ τῆς ἐνταῦθα ὑπερορίας καὶ κακίας τῶν συνοικούντων τὴν Κερκυραίων γῆν καὶ τῆς τοῦ τόπου ἀπαρηγορησίας οἰστότερα.

Μὴ ἀπαξιώσῃς ἡμᾶς ἢ μᾶλλον εἰπεῖν μὴ φθονήσῃς ἡμῖν τοῦ ἐκ τῆς ἐπιστολιμαίας προςλαλήσεως ψυχαγωγήματος. Περὶ τοῦ Γρηγορίου ἀξιῶ ὡς ἂν τυγχάνῃ τῆς προςηκούσης ἐπιμελείας. Μέμνησο καὶ ἡμῶν ἐν ταῖς πρὸς θεὸν ἐντυχίαις σου.

8. ψῦχει. ὀπῶρα. 9. ὁποῖα. 10. τὸν. θυμηδίας. 18. ὑμῖν.

ΤΑ ΣΦΑΛΜΑΤΑ ΚΑΙ ΑΙΤΙΑΜΑΤΑ

ΤΩΝ ΚΕΡΚΥΡΑΙΩΝ ΗΓΟΥΝ ΚΟΡΥΦΙΑΤΩΝ ΔΙ' Α ΑΥΤΟΥΣ ΑΠΟΣΤΡΕΦΟΜΕΘΑ

Ἡ ὑπὸ τὸν ἀνωτέρω τίτλον ἐκδιδομένη νῦν τὸ πρῶτον διατριβὴ εὕρηται ἔν τινι κώδικι τῆς κατὰ τὸ Ἅγιον Ὄρος ἱερᾶς μονῆς τῶν Ἰβήρων, τῷ ὑπ' ἀρ. 1340, οὗ παραθέτω ἐνταῦθα τὴν περιγραφήν.

«Κῶδιξ χαρτῷος εἰς 16ον, αἰῶνος ις', ἐκ φύλλων 316, περιέχων τάδε·

1. «Περὶ τῆς σατανικῆς αἱρέσεως τῶν κακοδόξων Ἀρμενίων καὶ τῶν ἐνάγῶν νηστειῶν αὐτῶν καὶ περὶ τῶν αἱρέσεων, ὧν ἔλαβον ἐκ τοῦ βασιλέως τῶν Περσῶν Χοσρόη, τοῦ λεγωμένου Βραμπάσου, καὶ τῶν ἑβδομάδων τῶν φυλασωμένων τοῦ ὅλου ἐνιαυτοῦ».

2. «Γεναδίου πατριάρχου Κωνσταντίνου πόλεως τοῦ Σχολαρίου ἀπολογία πρός τινα ἱερωμόναχον ἐν τῷ συνέῳ ὄρει περί τινων ἀναγκαίων ζητημάτων».

3. «Ἔκθεσις τοῦ αὐτοῦ ἀναγκαιοτάτη περιτῶν τοῦ ἱεροῦ συμβόλου ῥήσεων, ὅθεν συνελέγησαν καὶ κατὰ τίνων αὗται συγκείμεναι εἰσίν.

4. «Τοῦ αὐτοῦ κῦρ Συμεὼν τοῦ Θεσσαλονίκης περὶ τῶν ἑπτὰ μυστηρίων τῆς ἐκκλησίας».

5. «Τὰ σφάλματα καὶ αἰτιάματα τῶν Κερκυραίων ἢ Κορυφιάτων δι' ἃ αὐτοὺς ἀποστρεφόμεθα».

